ἔχομεν, οὐ πάντα ἐνεργείᾳ θεωροῦμεν. Ἡ νοερὰ ἄρα οὐσία διὰ πλειόνων εἰδῶν γινώσκουσα, χρῆται ἑνί, ὃ θέλει, καὶ διὰ τούτου ὁμοῦ ἐνεργείᾳ πάντα γινώσκει, ἃ δι' ἐκείνου τοῦ εἴδους γινώσκει· πάντα γάρ ἐστιν ὥσπερ ἓν νοητόν, καθόσον εἰσὶ γνωστὰ δι' ἑνός, ὥσπερ καὶ ὁ ἡμέτερος νοῦς ὁμοῦ γινώσκει πολλὰ πρὸς ἄλληλα συντεθειμένα ἢ ἀναγόμενα ὥσπερ ἕν.τι· ἃ δὲ διαφόροις εἴδεσι γινώσκει, οὐχ ὁμοῦ γινώσκει. Ἔστιν ἄρα ἐν τῷ νῷ τῆς χωριστῆς οὐσίας τάξις τις τῶν νοήσεων, οὐ μέντοι κίνησις, ἰδίως εἰπεῖν· οὐ γὰρ διαδέχεται τὴν δύναμιν ἡ ἐνέργεια, ἀλλ' ἐνέργεια ἐνέργειαν. Ὁ δὲ θεῖος νοῦς, ἑνὶ τῇ οὐσίᾳ πάντα γινώσκων, ἥτις ἐστὶν ἡ ἐνέργεια αὐτοῦ, ὁμοῦ πάντα νοεῖ ἄνευ μεταβάσεως, καὶ τὸ νοεῖν αὐτοῦ ὅλον ἐστὶν ὁμοῦ, τέλειον, διαμένον εἰς αἰῶνας αἰώνων, ἀμήν: —

# *LIVRE TROISIEME.*

## Dieu fin dernière et providence.

f. 68$^{v}$ *ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.*

### I. — Προοίμιον.

„Θεὸς μέγας κύριος καὶ βασιλεὺς μέγας ἐπὶ πάντας τοὺς θεούς", καὶ τὰ ἑξῆς. Ὁ ψαλμῳδὸς τῷ τοῦ θείου πνεύματος πεπληρῶσθαι κατανοῶν τὸ τὸν Θεὸν μίαν εἶναι τῶν ὅλων ἀρχὴν οὐ φύσεως ἀνάγκῃ, ἀλλ' αὐτεξουσίῳ θελήματι πάντα παραγαγοῦσαν, καὶ οὐ μόνον ποιητήν, ἀλλὰ καὶ ἄρχοντα καὶ διοικητὴν εἶναι, διαφόρως ἐν τοῖς διαφόροις κατὰ τὴν τῶν φύσεων διαφορὰν τῶν ἀποτελεσμάτων τῆς θείας διοικήσεως φαινομένων, ταῦτα κατανοήσας, πρῶτον μὲν τὴν τοῦ πρώτου ἄρχοντος τελειότητα ἡμῖν ὑπογράφει, τῆς μὲν φύσεως ἐν τῷ λέγειν Θεός, τῆς δὲ δυνάμεως, ἐν τῷ λέγειν μέγας κύριος, τῆς δὲ ἀρχῆς, δι' ὧν λέγει βασιλεὺς μέγας ἐπὶ πάντας τοὺς θεούς, ὡς παντὸς ἄρχοντος τῇ θείᾳ ὑποτεταγμένου ἐξουσίᾳ. Καὶ λέγων μὲν ὅτι „οὐκ ἀπώσεται Κύριος τὴν κληρονομίαν αὐτοῦ", τὴν πρὸς τὰ νοητὰ ἀρχὴν ὑπογράφει· τὴν δὲ πρὸς τὰ φθαρτά, λέγων ὅτι „ἐν τῇ χειρὶ αὐτοῦ ἐστι πάντα τὰ πέρατα τῆς γῆς"· τῆς δὲ ὑψηλότητος καὶ βεβαιότητος ἐν τῇ τάξει τῆς θείας διοικήσεως τῶν οὐρανίων σωμάτων ἅπτεται τῷ εἰπεῖν· „καὶ τὰ ὕψη τῶν ὀρέων, αὐτοῦ εἰσίν"· εἰπὼν δὲ ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα καὶ τὰ ἑξῆς, ἀποδίδωσι τὸν λόγον τῆς τοιαύτης καθόλου ἀρχῆς, ὅτι ἀνάγκη καὶ διοικεῖσθαι ὑπὸ Θεοῦ τὰ ὑπ' αὐτοῦ παρηγμένα.

Ἐπεὶ τοίνυν ἐν τῷ πρώτῳ βιβλίῳ περὶ τῆς τελειότητος τῆς θείας

---

9 *ἑνὶ* sic A    20 Ps. 94, 3-5

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

φύσεως διελάβομεν, ἐν δὲ τῷ δευτέρῳ, περὶ τῆς τελειότητος τῆς δυνάμεως καθ' ἣν ἐστι πάντων παραγωγεύς, νῦν περὶ τῆς τελείας ἐξουσίας ἢ ἀξίας διαληψόμεθα καθόσον ἐστὶ πάντων ἄρχων καὶ τέλος· καὶ πρῶτον μέν, ὡς ἔστι πάντων ἀρχὴ καὶ τέλος· δεύτερον, περὶ τῆς καθόλου τούτου ἀρχῆς καθόσον κυβερνᾷ πᾶσαν κτίσιν· τρίτον, περὶ τῆς ἰδιαζούσης τούτου ἀρχῆς, ᾗ τὰ νοῦν ἔχοντα διοικεῖ.

## II. — Ὅτι πᾶν ποιοῦν ἕνεκα τέλους ποιεῖ.

Ἐν ἑκάστου γὰρ ποιοῦντος ἐνεργείᾳ ἔστιν εὑρεῖν τι οὗ περαιτέρω οὐδὲν ὁ ποιῶν ζητεῖ, ἵνα μὴ προΐοιεν ἐπ' ἄπειρον αἱ τοῦ ποιοῦντος ἐνέργειαι· τοῦτο δέ ἐστι τὸ τέλος, οὗ ἕνεκα ὁ ποιῶν ποιεῖ, ὡς ἡ τοῦ ἰατροῦ ἐνέργεια μέχρι τῆς ὑγείας ἐστί, καὶ ἡ τοῦ τοξότου μέχρι τοῦ τυχεῖν τοῦ σκοποῦ, καὶ ἡ τοῦ οἰκοδόμου μέχρι τοῦ ποιῆσαι οἰκίαν, καὶ ἡ τοῦ θερμοῦ, πρὸς τὸ θέρμην ποιῆσαι, καὶ τοῦ ψυχροῦ | ὁμοίως πρὸς τὸ ψύξαι, καὶ ἐν f. 69 πᾶσιν ὁμοίως τοῖς γνώσει ἢ φύσει ποιοῦσιν.

Ἔτι, εἰ ἐπ' ἄπειρον προΐοιεν αἱ τοῦ ποιοῦντος ἐνέργειαι, ἢ οὐδὲν ἔσται γεγενημένον ἐξ αὐτῶν· οὐ γὰρ οἷόν τε τὰ ἄπειρα διελθεῖν· ἢ ἔσται τι γεγενημένον ἐκ τῶν ἀπείρων ἐνεργειῶν, ὅπερ ὁμοίως διὰ τὴν αὐτὴν αἰτίαν ἀδύνατον.

Ἔτι, διὰ τοῦτο ἁμαρτάνειν ποτὲ τοὺς ποιοῦντάς τι λέγομεν, ὅτι ἕνεκα τέλους ποιοῦσιν· ὅθεν εἰ τοῦ πρὸς ὃ μὴ ἔστι στεροῖτο τις, οὐχ ἁμαρτάνειν λέγεται, οἷον τῷ ἰατρῷ ἁμαρτία λογίζεται εἰ ἀστοχήσειε τοῦ ὑγιάζειν, ὅτι πρὸς αὐτό ἐστιν αὐτὸς καὶ ἡ ἐνέργεια, ἀλλ' οὐ τῷ οἰκοδόμῳ ἢ τῷ γραμματικῷ, εἰ μὴ ὅταν ὃ μὲν οὐκ ὀρθῶς οἰκοδομῇ, ὃ δὲ μὴ ὀρθῶς ὁμιλῇ, ὡς καὶ αὐτῶν πρὸς αὐτὰ ὄντων· καὶ ἐν τοῖς κατὰ φύσιν γινομένοις τὰ ἀμβλώματα ἁμαρτήματα λέγομεν. Δῆλον οὖν, ὅτι καὶ τὰ φύσει ποιοῦντα καὶ τέχνῃ καὶ ὅλως ἐκ προθέσεως, ἕνεκα τέλους ποιοῦσιν.

Ἔτι, εἰ πρὸς μηδὲν ὡρισμένον ἀποτέλεσμα τὸ ποιοῦν ἔτεινεν, οὐδὲν μᾶλλον τοῦτο ἐξ αὐτοῦ ἢ ἄλλο ἐγίνετ' ἄν, καὶ οὕτως οὐδὲν ἂν ἐγίνετο, οὐδ' ἂν ἐποίει τὸ ποιοῦν. Διὰ τούτου ἀποδοκιμάζεται, καὶ ἡ τῶν ἀρχαίων φυσικῶν αἵρεσις ὑποθεμένων πάντα ἐξ ἀνάγκης γίνεσθαι φυσικῆς, τὴν δὲ τελικὴν αἰτίαν ἀνῃρηκότων καθάπαξ.

## III. — Ὅτι πᾶν τὸ ποιοῦν ἕνεκα τοῦ ἀγαθοῦ ποιεῖ.

Πᾶν γὰρ τὸ ποιοῦν εἰς ὡρισμένον τι τείνει καὶ οἰκεῖον αὐτῷ· τὸ δὲ οἰκεῖον τινὶ καὶ ἀγαθόν ἐστιν αὐτῷ· ποιεῖ ἄρα τοῦ ἀγαθοῦ χάριν.

Ἔτι, τὸ τὴν ἔφεσιν ὁρίζον ἀγαθοῦ λόγον ἔχει· ἀγαθὸν γάρ, οὗ πάντα ἐφίεται· εἰς ὃ δὲ ἡ πρόθεσις τοῦ κινοῦντος ἢ κινουμένου καὶ ποιοῦντος παύεται, τέλος ἐστίν.

Ἔτι, πᾶσα κίνησις καὶ ἐνέργεια πρὸς τὸ εἶναι ἁμηγέπῃ τέτακται ἢ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τοῦ ποιοῦντος, ὥστε δηλονότι τυχεῖν τινος ἔξωθεν, ἢ τῶν ποιουμένων, ὥστε συντηρεῖσθαι ἢ κατὰ τὸ εἶδος, ἢ τὸ ἄτομον· τὸ δὲ εἶναι ἀγαθόν ἐστι καὶ ἐφετὸν ἅπασιν.

Ἔτι, πᾶσα κίνησις καὶ ἐνέργεια ἕνεκα τελειότητός τινός ἐστιν· ἀγαθὸν δὲ τὸ τέλειον.

Ἔτι, πᾶν ποιοῦν ἐνέργειά ἐστιν καὶ εἰς ἐνέργειάν τινα φέρεται· ἡ δὲ ἐνέργεια ἀγαθοῦ λόγον ἔχει.

## IV. — Ὅτι τὸ κακὸν παρὰ τὸν σκοπόν ἐστιν ἐν τοῖς πράγμασιν.

Ἐπεὶ γὰρ τὸ φέρεσθαι ἐπὶ τἀγαθὸν κοινόν ἐστι τῷ τε νῷ καὶ φύσει
f. 69v ποιοῦντι, | οὐχ ἅπτεται τὸ κακὸν διὰ τὸν σκοπὸν τοῦ ποιοῦντος, ἀλλὰ μᾶλλον παρ' αὐτόν· δῆλον γὰρ ὡς ἡ ἐν τῷ ἀποτελέσματι στέρησις ἔκ τινος τῆς ἐν ταῖς ἀρχαῖς τῆς ἐνεργείας στερήσεως ἕπεται, ὥσπερ ἔκ τινος τοῦ σπέρματος φθορᾶς τόκος ἐξημβλώμενος· ἡ δὲ στέρησις κακόν ἐστι τῷ ποιοῦντι καὶ παρὰ τὸν σκοπὸν αὐτοῦ, ὥστε καὶ τὸ ταύτῃ ἑπόμενον παρὰ τὸν ἐν τῷ ποιεῖν σκοπὸν αὐτοῦ.

## V-VI.

Τούτοις προσέκειντο λόγοι δι' ὧν δόξειεν ἂν μὴ παρὰ τὸν σκοπὸν εἶναι τὸ κακὸν ἐν τοῖς πράγμασιν· ἔπειτα, καὶ λύσεις αὐτῶν.

## VII. — Ὅτι οὐκ ἔστι τις οὐσία τὸ κακόν.

Τὸ γὰρ κακὸν οὐδὲν ἄλλο ἐστὶν εἰ μὴ στέρησις οὗ τις πέφυκεν ἔχειν· ἡ δὲ στέρησις οὐκ ἔστιν οὐσία τις, ἀλλ' ἀπόφασις ἐν οὐσίᾳ.

Ἔτι, ἕκαστον κατὰ τὴν αὐτοῦ οὐσίαν ἔχει τὸ εἶναι· τὸ δὲ εἶναι ἀγαθόν τί ἐστιν αὐτῷ· τοῦ τε γὰρ ἀγαθοῦ πάντα ἐφίεται καὶ τοῦ εἶναι ὁμοίως. Κατὰ τοῦτο τοίνυν ἕκαστον ἀγαθόν ἐστιν, ὅτι οὐσίαν ἔχει· τὸ δὲ ἀγαθὸν καὶ κακὸν ἀντίκεινται. Οὐδὲν ἄρα ἐστὶ κακὸν καθόσον οὐσίαν ἔχει, οὐδ' ἄρα οὐσία οὐδεμία ἐστὶ τὸ κακόν.

Ἔτι, πᾶν ὂν ἢ εἶδός ἐστιν, ἢ εἶδος ἔχει· διὰ γὰρ τοῦ εἴδους ἕκαστα ἐν γένει ἢ εἴδει καθίσταται· τὸ δὲ εἶδος ᾗ τοιοῦτον ἀγαθοῦ λόγον ἔχει, ἀρχὴ ὂν ἐνεργείας καὶ τέλος ὃ σκοπεῖ τὸ ποιοῦν· πᾶν ἄρα τὸ ἔχον οὐσίαν ἀγαθόν ἐστι καθὸ τοιοῦτον. Τὸ κακὸν ἄρα οὐκ ἔχει οὐσίαν τινά.

Ἔτι, ὡς δέδεικται, πᾶν εἶναι, ὡς ἂν ᾖ, ἀπὸ Θεοῦ ἐστίν, καὶ ὁ Θεὸς ἡ τελεία εἶναι ἀγαθότης ἐδείχθη πρότερον. Εἰ τοίνυν τὸ τοῦ ἀγαθοῦ ἀποτέλεσμα κακὸν εἶναι ἀδύνατον, ἀδύνατον ὄν τι, καθόσον ἐστὶν ὄν, κακὸν εἶναι. Ἐντεῦθέν ἐστι τὸ ἐν τῷ πρώτῳ τῆς Γενέσεως· „Εἶδεν ὁ

---

38 Gen. 1, 31

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Θεὸς πάντα ὅσα ἐποίησε, καὶ ἦσαν καλὰ λίαν"· καὶ ἐν τῇ πρὸς Τιμόθεον πρώτῃ· „Πᾶν κτίσμα Θεοῦ ἀγαθόν". Ἐντεῦθεν καὶ ἡ τῶν Μανιχαίων ἐκβάλλεται αἵρεσις, ὑποτιθεμένων τῇ ἑαυτῶν φύσει τινὰ εἶναι κακά.

## VIII. — Λόγοι δι' ὧν δοκεῖ δείκνυσθαι τοὐναντίον.

Ἀλλ' εἰς τοὐναντίον ἐπιχειροῦσι τινές, ὅτι τὸ κακὸν εἰδοποιός ἐστι διαφορὰ ἔν τισι τῶν γενῶν, ἤγουν ἐν ταῖς ἕξεσι καὶ ταῖς ἐνεργείαις καὶ ταῖς ἠθικαῖς· ὡς γὰρ ἡ ἀρετὴ κατὰ τὸ εἶδος ἀγαθή ἐστιν ἕξις, οὕτως ἡ κακία κακή ἐστιν | ἕξις κατὰ τὸ εἶδος αὐτῆς· ὁμοίως δὲ καὶ ἐπὶ τῶν f. 70 ἐνεργειῶν τῶν ἀρετῶν τε καὶ τῶν παθῶν· ἕκαστον δὲ ἐκ τῆς ἰδίας εἰδοποιοῦ διαφορᾶς τοῦ εἴδους τυγχάνει· τὸ ἄρα κακόν ἐστιν οὐσία τις καί τισι πράγμασι φυσικόν.

Ἔτι, τῶν ἐναντίων ἑκάτερον φύσις τίς ἐστιν· εἰ δὲ μή, στέρησις ἔσται ἢ ἀπόφασις καθαρὰ θάτερον· ἀλλὰ τὸ ἀγαθὸν καὶ κακὸν ἐναντία λέγονται εἶναι.

Ἔτι, τὸ ἀγαθὸν καὶ κακὸν γένη τῶν ἐναντίων ἐν ταῖς κατηγορίαις λέγονται· παντὸς δὲ γένους ἔστι φύσις καὶ οὐσία τις· τοῦ γὰρ μὴ ὄντος οὐκ εἰσὶν εἴδη οὐδὲ διαφοραί. Καὶ οὕτω τὸ μὴ ὂν οὐ δύναται γένος εἶναι.

Ἔτι, πᾶν τὸ ποιοῦν πρᾶγμα τί ἐστιν· τὸ δὲ κακὸν ποιεῖ καθόσον κακόν· μάχεται γὰρ τῷ ἀγαθῷ καὶ φθείρει αὐτό· τὸ κακὸν ἄρα καθόσον κακόν, πρᾶγμα τί ἐστιν.

Ἔτι, ἐν ὅσοις τὸ μᾶλλον καὶ ἧττον εὑρίσκεται πράγματά εἰσιν ἔχοντα τάξιν· αἱ γὰρ ἀποφάσεις καὶ αἱ στερήσεις οὐ δέχονται τὸ μᾶλλον καὶ ἧττον· εὑρίσκεται δὲ ἐν τοῖς κακοῖς ἕτερον χεῖρον ἑτέρου.

Ἔτι, τὸ πρᾶγμα καὶ τὸ ὂν ἀντιστρέφουσιν· ἔστι δέ τι κακὸν ἐν τῷ κόσμῳ· ἔστιν ἄρα καὶ πρᾶγμα καὶ φύσις.

## IX. — Λύσεις τῶν λόγων τούτων.

Ταῦτα δὲ οὐ χαλεπὸν λύεσθαι· τὸ γὰρ κακὸν καθόσον ἐστὶν εἰδοποιὸς διαφορὰ ἐν τῷ γένει τῶν ἠθικῶν, ἅπερ ἀπὸ τοῦ κατὰ τὸν λόγον τέλους τοῦ εἴδους τυγχάνουσιν, ἅτε τῆς θελήσεως ἠρτημένα καὶ ἐν τοῖς ἑκουσίοις ὄντα· ἡ διαφορὰ τοίνυν τοιαύτη οὐ σημαίνει τι, ὅ ἐστι κατὰ τὴν ἑαυτοῦ οὐσίαν κακόν, ἀλλά τι, ὃ καθ' αὑτὸ μέν ἐστιν ἀγαθόν, κακὸν δὲ τῷ ἀνθρώπῳ, καθόσον ἀναιρεῖ τὴν τάξιν τοῦ λόγου, ὅ ἐστιν ἀγαθὸν τῷ ἀνθρώπῳ· ὥσπερ τὸ κατὰ τὴν αἴσθησιν ἡδὺ ἀγαθὸν μέν τισι τῶν ζῴων ἁπλῶς, ἀγαθὸν δὲ καὶ ἀνθρώπῳ, ὅταν ἡρμοσμένον ᾖ κατὰ τὸν λόγον· διὸ καὶ συμβαίνει τὸ τῷ ἑνὶ κακὸν ἀγαθὸν εἶναι ἑτέρῳ.

Ἐναντία δὲ λέγονται εἶναι τὸ ἀγαθὸν καὶ κακὸν ἐν τῷ γένει τῶν

---

2 I Tim. 4, 4  32 ἡ: peut-être ὡς A

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἠθικῶν λαμβανόμενα, ἀλλ᾽ οὐχ ἁπλῶς· ἡ γὰρ κακὸν τὸ κακὸν στέρησίς ἐστι τοῦ ἀγαθοῦ.

Γένη δὲ τῶν ἐναντίων τὸ ἀγαθὸν καὶ κακόν, καθόσον εἰσὶν ἐν τοῖς ἠθικοῖς, καὶ ἔστι τὸ ἠθικὸν κακὸν καὶ γένος καὶ διαφορὰ οὐ καθό ἐστι f. 70v στέρησις τοῦ κατὰ τὸν λόγον ἀγαθοῦ, καθὸ καὶ κακὸν | λέγεται, ἀλλ᾽ ἐκ τῆς φύσεως τῆς ἐνεργείας ἢ τῆς ἕξεως, ἥτις τέτακται τότε πρός τι τέλος μαχόμενον τῷ οἰκείῳ τέλει τοῦ λόγου· ὥσπερ τὸ ἄλογόν ἐστι τοῦ ζῴου διαφορὰ οὐ διὰ τὴν τοῦ λόγου στέρησιν, ἀλλὰ τῷ τῆς τοιᾶσδε φύσεως λόγῳ, ᾧ ἕπεται ἡ ἀλογία. Δυνατὸν δὲ νοεῖσθαι καὶ τὸ ἐν κατηγορίαις, ὅτι οὐ κατὰ τὴν ἰδίαν δόξαν, ἀλλὰ κατὰ τὴν τῶν Πυθαγορείων εἴρηται, πρῶτα γένη τιθεμένων τὸ ἀγαθὸν καὶ κακόν, καὶ ὑπὸ μὲν τὸ ἀγαθόν, πεπερασμένον, περιττόν, ἕν, δεξιόν, ἄρρεν, ἑστώς, εὐθύ, φῶς, τετράγωνον· ὑπὸ δὲ τὸ κακὸν τἀναντία τούτων, ἄπειρον, ἄρτιον, πλῆθος, ἀριστερόν, θῆλυ, κινούμενον, καμπόλον, σκότος, ἑτερόμηκες· ἐν γὰρ τοῖς πλείοσι τῶν λογικῶν ὁ φιλόσοφος χρῆται παραδείγμασιν ἐνδόξοις κατ᾽ ἐκεῖνον τὸν καιρὸν ἔκ τινος αἱρέσεως· ἔχει δέ τι καὶ ἀληθείας ὁ λόγος, ὅτι γένη τῶν ἐναντίων πως εἰσὶ τὸ ἀγαθὸν καὶ κακόν· τῶν γὰρ ἐναντίων θάτερον μὲν τέλειον, θάτερον δὲ ἀτελές, ὥσπερ στερήσει τινὶ μεμιγμένον· ὥσπερ λευκὸν μὲν καὶ θερμόν, τέλεια· ἀτελῆ δὲ ψυχρὸν καὶ μέλαν, ὡς μετά τινος στερήσεως σημαινόμενα. Πᾶσα δὲ ὕφεσις καὶ στέρησις τῷ τοῦ κακοῦ λόγῳ προσήκει, ὥσπερ ἡ τελειότης καὶ ἡ πλήρωσις τῷ τοῦ ἀγαθοῦ.

Τὸ δὲ κακὸν φθείρειν λέγεται τὸ ἀγαθὸν οὐ μόνον τῷ τῇ δυνάμει τοῦ ἀγαθοῦ ἐνεργεῖν, ὡς συνεζευγμένον τῷ εἴδει ἢ τῷ τέλει, καθ᾽ ἑαυτὸ δὲ καὶ ὡς στέρησιν ἀσθενὲς εἶναι καὶ οὐδεμιᾶς ἐνεργείας ἀρχήν, ἀλλὰ καὶ εἰδικῶς καὶ καθ᾽ αὑτὸ τρόπῳ τινί, ὥσπερ ἡ τυφλότης λέγεται φθείρειν τὴν ὄψιν, ἐπεὶ αὐτή ἐστι φθορὰ τῆς ὄψεως, ὃν τρόπον καὶ ἡ λευκότης λέγεται τὸν τοῖχον χρωννύειν, ὅτι αὐτή ἐστι χρῶμα τοῦ τοίχου.

Λέγεται δὲ ἕτερον ἑτέρου μᾶλλον κακὸν κατὰ τὴν τοῦ ἀγαθοῦ ἀποχώρησιν, καὶ πάντα οὕτω τὰ στέρησιν ἐπιφέροντα, ἐπιτείνονται καὶ ἀνίενται, ὡς ἀνισότερον καὶ ἀνομοιότερον λέγεται κατὰ τὴν πλείω διάστασιν τῆς ἰσότητος καὶ ὁμοιότητος· αἱ δὲ στερήσεις οὐχ ὥς τινα ἔχουσαι νοοῦνται οὐσίαν, ὡς τὸ εἶδος καὶ ἡ ἰσότης, ἀλλὰ δι᾽ αὔξησιν τῆς στερούσης αἰτίας, ὥσπερ σκοτεινότερός ἐστιν ὁ ἀὴρ διὰ τὸ πλείοσι διαφράγμασι διΐστασθαι τῆς τοῦ φωτὸς μετοχῆς.

Λέγεται δὲ τὸ κακὸν ἐν τῷ κόσμῳ εἶναι οὐχ ὡς οὐσίαν τινὰ ἔχον, ἢ πρᾶγμά τι ὄν, ἀλλὰ τῷ λόγῳ ᾧ λέγεται πρᾶγμά τι κακὸν εἶναι· f. 71 λέγεται γὰρ ὡς καὶ ἡ τυφλότης, | καὶ πᾶσα στέρησις, ὅτι τὸ ζῷον τὸ τυφλὸν τυφλότητί ἐστι τυφλόν· τὸ γὰρ ὂν διχῶς (ἐστιν) ἐν τῇ μετὰ τὰ φυσικὰ λέγεται, ἢ καθὸ τὴν οὐσίαν τοῦ πράγματος σημαίνει, καὶ διαιρεῖται εἰς τὰ δεκὰ γένη· οὕτω δὲ οὐδεμία στέρησις δύναται λέγεσθαι ὄν· ἕτερον

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

δὲ τρόπον, καθὸ ἀλήθειαν ἐν τῇ συνθέσει σημαίνει, καὶ οὕτω τὸ κακὸν καὶ ἡ στέρησις λέγονται ὄν, καθόσον τῇ στερήσει ἀληθῶς τι λέγεται εἶναι ἐστερημένον.

X. — Ὅτι τὸ ἀγαθὸν καὶ τοῦ κακοῦ αἴτιον τρόπον τινά.

Εἰ γάρ τινος κακοῦ αἴτιόν ἐστι κακόν, τὸ δὲ κακὸν οὐ ποιεῖ εἰ μὴ τῇ τοῦ ἀγαθοῦ δυνάμει, ὡς δέδεικται, ἀνάγκη αὐτὸ τὸ ἀγαθὸν πρώτην αἰτίαν εἶναι τοῦ κακοῦ.

Ἔτι, τὸ μὴ ὂν οὐδενός ἐστιν αἴτιον· πᾶν ἄρα αἴτιον ὄν τι ἀνάγκη εἶναι· τὸ δὲ κακὸν οὐκ ἔστι ὄν τι, ὡς ἐδείχθη· τὸ κακὸν ἄρα οὐ δύναταί τινος εἶναι αἰτία. Ἀνάγκη ἄρα, εἴ τινα τὸ κακὸν ἔχει αἰτίαν, τὸ ἀγαθὸν εἶναι ἐκείνην.

Ἔτι, εἰ ἐποίει τὸ κακόν, ἐφέρετο ἂν εἰς τὸ ἀγαθόν· δέδεικται γὰρ πᾶν ποιοῦν εἰς τὸ ἀγαθὸν τείνειν· ἀλλ' ἀδύνατον· οὐκ ἄρα τὸ κακὸν αἴτιόν τινος καθ' αὑτό, ἀλλ' ἢ μόνον κατὰ συμβεβηκός· πᾶσα δὲ κατὰ συμβεβηκὸς αἰτία εἰς τὴν καθ' αὑτὴν ἀνάγεται, μόνον δὲ τὸ ἀγαθὸν δύναται καθ' αὑτὸ εἶναι αἰτία· τὸ δὲ κακὸν οὐ δύναται καθ' αὑτὸ αἴτιον εἶναι. Τοῦ κακοῦ ἄρα αἰτία τὸ ἀγαθόν. Οὐκ ἔστι δὲ αἰτία ποιητικὴ τοῦ κακοῦ τὸ ἀγαθὸν εἰ μὴ κατὰ συμβεβηκός, ἢ παρὰ τὴν ἔνδειαν τῆς δυνάμεως αὐτοῦ τοῦ ποιοῦντος, ᾗ ἕπεται καὶ ἡ ἔνδεια τῆς ἐνεργείας καὶ τοῦ ἀποτελέσματος, ὥσπερ διὰ τὴν ἀδυναμίαν τοῦ πέττοντος ἕπεται κατεργασία ἀτελὴς καὶ χυμὸς ἄπεπτος· ἢ ἐκ τῆς ἀνεπιτηδειότητος τοῦ ὀργάνου ἤ τινος ἄλλου ζητουμένου πρὸς τὴν τοῦ ποιοῦντος ἐνέργειαν· ἢ παρὰ τὸ ἀποτέλεσμα, καὶ τοῦτο διχῶς· ἢ παρὰ τὴν ὕλην, ἢ παρὰ τὸ εἶδος· καὶ οὕτως ἐν τοῖς φυσικοῖς τὸ κακὸν κατὰ συμβεβηκὸς μόνον αἴτιον ἔχει τὸ ἀγαθόν· ὁμοίως ἐν τοῖς τέχνῃ γινομένοις, ἣ μιμεῖται τὴν φύσιν. Ἐν δὲ τοῖς ἠθικοῖς οὐ τῇ ἐνδείᾳ τῆς δυνάμεως τὸ ἠθικὸν ἕπεται πάθος· ἢ γὰρ οὐκ ἂν ἦν ὅλως τὸ πάθος, ἢ τοὐλάχιστον ἀκόλαστον ἂν ἦν διὰ τὴν ἀδυναμίαν, καὶ οὕτως οὐκ ἂν ἠξιοῦτο τιμωρίας, ἥτις τῇ | πονηρίᾳ ὀφείλεται, f. 71v οἴκτου δὲ μᾶλλον καὶ συγγνώμης· τὸ γὰρ ἑκούσιον, οὐ τὸ ἀναγκαῖον καὶ ἐξ ἀσθενείας κακίζεται καὶ τιμωρεῖται. Ἀλλ' ἐπειδὴ πρῶτον ἐνεργητικὸν ἐν ταῖς ἠθικαῖς ἐνεργείαις τὸ καταληφθέν ἐστι πρᾶγμα, δεύτερον ἡ καταληπτικὴ δύναμις, τρίτον ἡ θέλησις, τέταρτον ἡ κινητικὴ δύναμις, ἥτις ἐπεξέρχεται τὸ κελευόμενον ὑπὸ τοῦ λόγου· εἰ μὲν ἡ τῆς θελήσεως ἐνέργεια ἀγαθή ἐστιν, καὶ ἡ ἐξωτερικὴ ἐνέργεια ἀγαθὴ λέγεται· κακὴ δέ, εἰ κἀκείνη εἴη κακή· περὶ γὰρ τῶν ἐξωτερικῶν οὐκ ἀφορίζεται τὸ ἀγαθὸν ἢ τὸ κακὸν εἰ μὴ ἐκ τῆς θελήσεως, τῆς ἐνδοτέρας δηλονότι ἐνεργείας,

---

**21** *τοῦ πέττοντος*, **corrigé de** *τῆς πέψεως* **A** **28** *ἀκόλαστον*: **leçon douteuse: A paraît porter** *ἄλαστον*

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τουτέστιν εἰ εἴη ἑκούσιον. Ἐν τῇ τῆς θελήσεως ἄρα ἐνεργείᾳ τῆς ἠθικῆς ἁμαρτίας ἡ ῥίζα καὶ ἡ αἰτία ζητεῖται· προηγεῖται δὲ τοῦ ἐν τῇ θελήσει ἁμαρτήματος τῆς ἐνεργείας τὸ ἐν τῇ πρὸς τὸν λόγον τάξει ἀσύντακτον, ὁμοίως δὲ καὶ τῇ πρὸς τὸ ἴδιον τέλος, ὃ καὶ αὐτὸ ἑκούσιόν ἐστιν· ἐν γὰρ τῇ τῆς θελήσεως ἐξουσίᾳ κεῖται θέλειν καὶ μὴ θέλειν ἢ τὸ ὑπὸ τοῦ λόγου προτεθὲν αὐτῇ οἰκεῖον ἀγαθόν, ἢ ὑπὸ τῆς αἰσθήσεως ἢ διεφθορότος λόγου προτεθὲν αὐτῇ ἕτερον ἀγαθὸν ἀντὶ τοῦ οἰκείου. Οὕτω τοίνυν ἐν τοῖς φυσικοῖς καὶ τεχνητοῖς καὶ ἠθικοῖς τὸ κακὸν αἰτίαν ἔχει τὸ ἀγαθόν, πλὴν κατὰ συμβεβηκός.

## XI. — Ὅτι τὸ κακὸν ἐν τῷ ἀγαθῷ ἵδρυται.

Οὐ γὰρ δύναται ὑφεστάναι καθ' ἑαυτό, ἐπεὶ μὴ ἔχει οὐσίαν· ἐν ὑποκειμένῳ δὲ ὄν, ὅπερ οὐσία τίς ἐστιν, ἐν ἀγαθῷ δήπου ἀκολούθως ἐστίν.

Ἔτι, ἡ στέρησις καὶ τὸ εἶδος οὗ ἐστιν ἡ στέρησις, ἐν τῷ αὐτῷ ὑποκειμένῳ· τὸ δὲ ὑποκείμενον, ἐν δυνάμει πρὸς τὸ εἶδος, ὅ ἐστιν ἀγαθόν. Οὐκοῦν καὶ τὸ ὑποκείμενον ἀγαθόν, ἀλλ' ἡ στέρησις κακόν ἐστιν. Τὸ κακὸν ἄρα ἵδρυται ἔν τινι ἀγαθῷ.

Ἔτι, οὐκ ἂν ἔβλαπτε τὸ κακὸν τὸ ἀγαθόν, εἰ μὴ ἦν ἐν τῷ ἀγαθῷ, ὡς ἡ τυφλότης βλάπτει τὸν ἄνθρωπον ἐν αὐτῷ οὖσα· οὐκ ἔστι δὲ τὸ κακὸν ἐν τῷ ἀντικειμένῳ ἰδίως ἀγαθῷ· τοῦτο γὰρ διὰ τοῦ κακοῦ ἀναιρεῖται· ἀλλ' ἐν ἑτέρῳ τινὶ ἀγαθῷ ὡς ἐν ὑποκειμένῳ, ὡς ἡ τυφλότης οὐκ ἐν τῇ ὄψει, ἀλλ' ἐν τῷ ζῴῳ, ἢ τῷ μέρει αὐτοῦ· καὶ τὸ τοῦ ἤθους κακὸν ἐν τῷ τῆς φύσεώς ἐστιν ἀγαθῷ· καὶ ἡ δειλία οὐκ ἐν τῇ ἀνδρίᾳ, ἀλλ' ἐν
f. 72 τῇ ψυχῇ· καὶ τὸ τῆς φύσεως κακόν, | ὅπερ ἐστὶ τοῦ εἴδους στέρησις, οὐκ ἐν τῷ εἴδει, ἀλλ' ἐν τῇ ὕλῃ, ἥτις ἐστὶν ἀγαθόν, καθόσον καὶ ὂν δυνάμει.

## XII. — Ὅτι κἂν ὁπόσον αὐξηθῇ τὸ κακόν, οὐ δύναται φθείρειν ὅλον τὸ ἀγαθόν.

Ἀνάγκη γὰρ ἀεὶ μένειν τὸ τοῦ κακοῦ ὑποκείμενον, εἰ τὸ κακὸν μένοι· ὑποκείμενον δὲ τοῦ κακοῦ τὸ ἀγαθόν· ἀεὶ ἄρα μένει τὸ ἀγαθόν, μόνον δὲ τὸ ἀντικείμενον αὐτῷ ἀγαθὸν ἀναιρεῖ, ὥσπερ ἡ τυφλότης τὴν ὄψιν ἀναιρεῖ, τὸ δὲ ζῷον οὐκ ἀναιρεῖ. Ἐπεὶ δὲ τὸ ἀγαθὸν ἐπὶ πολλῶν ἐλαττοῦται διὰ τοῦ κακοῦ τῷ προστιθέναι μᾶλλον τὸ ἐναντίον ἢ τῷ ἀφαιρεῖν τι ἀπὸ τοῦ ἀγαθοῦ, ὡς ἐν τοῖς φυσικοῖς τε καὶ ἠθικοῖς δῆλόν ἐστιν, ἰστέον ὡς αὕτη ἡ τοῦ ἀγαθοῦ ἐλάττωσις διὰ τοῦ κακοῦ ἐν μὲν τοῖς φυσικοῖς οὐ δύναται ἐπ' ἄπειρον προϊέναι· τὰ γὰρ φυσικὰ εἴδη καὶ αἱ δυνάμεις πεπερασμένα καὶ πρός τι τέλος ἀφικνοῦνται, οὗ περαιτέρω προελθεῖν οὐ δύνανται, ὥστε οὐδὲ ἡ τοῦ ἀγαθοῦ διὰ τοῦ κακοῦ ἐλάττωσις ἐπ' ἄπειρον ἕπεται· ἐν δὲ τοῖς ἠθικοῖς ἡ ἐλάττωσις αὕτη ἐπ' ἄπειρον πρόεισιν· ὁ γὰρ νοῦς καὶ ἡ θέλησις ἐν ταῖς αὐτῶν ἐνεργείαις οὐκ ἔχουσι

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τέλος, ὡς ἐπὶ τῶν μαθηματικῶν δῆλόν ἐστι, τῶν εἰδῶν δηλονότι τῶν ἀριθμῶν καὶ σχημάτων· καὶ ἡ θέλησις δὴ προδήλως ἐπ' ἄπειρον πρόεισιν· ὁ γὰρ θέλων τι δύναται πάλιν θέλειν ἕτερον, καὶ αὖ τὸ πρῶτον, καὶ αὖ ἕτερον, καὶ οὕτως ἐπ' ἄπειρον· ὅσῳ δὲ ἡ θέλησις πρὸς τὰ μὴ προσήκοντα φέρεται τέλη, τοσούτῳ δυσκολώτερον ἐπάνεισι πρὸς τὸ ἴδιον καὶ ὀφειλόμενον τέλος, ὥσπερ ἐν οἷς ἐκ τοῦ ἔθους τοῦ ἁμαρτάνειν παθῶν ἕξις ἐγγίνεται. Ἐπ' ἄπειρον τοίνυν διὰ τοῦ ἐν τῷ ἤθει κακοῦ τὸ τῆς φυσικῆς ἐπιτηδειότητος ἀγαθὸν δύναται ἐλαττοῦσθαι, οὐδέποτε μέντοι πάντη ἀναιρεθήσεται, ἀλλ' ἀεὶ τῇ ὑπολειπομένῃ σύνεστι φύσει.

## XIII.

Ἐκ τῶν εἰρημένων δὲ δύναται δείκνυσθαι, ὅτι εἰ καὶ μὴ ἔχοι αἰτίαν καθ' αὑτὸ τὸ κακόν, ἑκάστου μέντοι κακοῦ ἀνάγκη αἰτίαν εἶναί τινα, ᾗ ἕπεται κατὰ συμβεβηκός· ὡς φανεροὶ οὖν οἱ λόγοι παρείνται.

## XIV. — Ὅτι τὸ κακόν, αἴτιον κατὰ συμβεβηκός.

Τὸ γὰρ κακὸν στέρησίς τίς ἐστιν· ἡ δὲ στέρησις, ἀρχὴ κατὰ συμβεβηκὸς | ἐν τοῖς κινητοῖς, ὡς ἡ ὕλη καὶ τὸ εἶδος καθ' αὑτό. f. 72v

Ἔτι, πάντα τὰ τῶν αἰτίων εἴδη διερχομένῳ τὸ κακὸν αἴτιον εὑρίσκεται κατὰ συμβεβηκός· ἐν μὲν τῷ εἴδει τῆς ποιητικῆς αἰτίας, ὅτι διὰ τὴν ἀσθένειαν τῆς ἐν αὐτῇ δυνάμεως ἐν τῇ ἐνεργείᾳ, ἔνδεια ἕπεται κἂν τῷ ἀποτελέσματι· ἐν δὲ τῷ τῆς ὑλικῆς, ὅτι ἐκ τῆς ὕλης ἀνεπιτηδειότητος γίνεταί τις ἐν τῷ ἀποτελέσματι ἔλλειψις· ἐν δὲ τῷ τῆς εἰδικῆς, ὅτι τῷ εἴδει στέρησις ἑτέρου εἴδους ἀεὶ συνέζευκται· ἐν δὲ τῷ τῆς τελικῆς, ὅτι τῷ μὴ προσήκοντι τέλει κακόν τι συνέζευκται, καθόσον δι' αὐτοῦ τὸ οἰκεῖον ἐμποδίζεται τέλος. Φανερὸν τοίνυν ὅτι τὸ κακὸν αἴτιόν ἐστι κατὰ συμβεβηκός.

## XV. — Ὅτι οὐκ ἔστιν ἔσχατον κακόν.

Τὸ γὰρ ἔσχατον κακὸν ἀνεπίμικτον εἶναι δεῖ παντὸς ἀγαθοῦ, ὥσπερ καὶ ἀγαθόν ἐστιν ἔσχατον τοῦ κακοῦ πάντη κεχωρισμένον· ἀλλ' ἀδύνατον εἶναί τι τοιοῦτο κακόν, δεδειγμένου ὅτι ἐν τῷ ἀγαθῷ τὸ κακὸν ἵδρυται.

Ἔτι, ἦν ἂν τὸ ἐσχάτως κακὸν κατὰ τὴν αὐτοῦ οὐσίαν κακόν, ὥσπερ ἔσχατον ἀγαθὸν τὸ κατ' οὐσίαν ἐστὶν ἀγαθόν· ἀλλὰ τὸ κακὸν ἐδείχθη μὴ ἔχειν οὐσίαν.

Ἔτι, τὸ πρώτη ἀρχὴ ὂν οὐ δύναται ἕτερον αἴτιον ἔχειν· τὸ δὲ κακὸν ἅπαν ἐδείχθη αἰτίαν ἔχειν τὸ ἀγαθόν.

Ἔτι, τὸ κακὸν οὐκ ἐνεργεῖ εἰ μὴ τῇ δυνάμει τοῦ ἀγαθοῦ· ἡ δὲ πρώτη ἀρχὴ ἐνεργεῖ τῇ ἰδίᾳ δυνάμει.

Ε.Υ.Δ της Κτ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

Ἔτι, τὸ κατὰ συμβεβηκός, οἷόν ἐστι τὸ κακόν, ἐπειδὴ καὶ παρὰ τὸν σκοπόν, ὕστερόν ἐστι τοῦ καθ' αὑτό, καὶ ἀδύνατον εἶναι πρώτην ἀρχήν.

Διὰ τούτου ἐλαύνεται ἡ τῶν Μανιχαίων αἵρεσις ἔσχατόν τι κακὸν ὑποτιθεμένων, ὅπερ κακῶν ἁπάντων ἀρχὴ πρώτη.

XVI. — Ὅτι τὸ ἀγαθόν ἐστι παντὸς πράγματος τέλος.

Πᾶν γὰρ ὂν διὰ τῆς ἰδίας ἐνεργείας τάττεται εἰς τὸ ἀγαθόν· ἀνάγκη γὰρ ἢ τὴν ἐνέργειαν αὐτὴν εἶναι τέλος, ἢ τὸ τῆς ἐνεργείας τέλος καὶ τοῦ ποιοῦντος τέλος εἶναι ὅπερ ἐστὶν ἀγαθὸν αὐτοῦ.

Ἔτι, παντὸς πράγματος τέλος ἐστὶν εἰς ὃ ἡ ἔφεσις αὐτοῦ τελευτᾷ· τοῦτο δέ ἐστιν τὸ ἀγαθόν· ἔστι γὰρ ἀγαθόν, οὗ πάντα ἐφίενται.

Ἔτι, ἡ τελειότης ἑκάστου, εἰς ἣν κινεῖται καὶ ἐν ᾗ ἠρεμεῖ, τέλος ἐστὶν αὐτοῦ· ἡ δὲ τελειότης ἑκάστου τὸ ἀγαθόν ἐστιν αὐτοῦ. Ἕκαστον ἄρα εἰς τἀγαθὸν φέρεται ὡς εἰς τέλος, εἴτε γινώσκει τὸ τέλος, εἴτε φέρεται ὑπ' ἄλλου ὁδηγούμενον, αὐτὸ ἀγνοοῦν.

f. 78 XVII. — Ὅτι πάντα τάττονται εἰς ἓν τέλος, ὅπερ ἐστὶν ὁ Θεός.

Εἰ γὰρ τὸ ἀγαθὸν τέλος ἐστὶ καθόσον ἀγαθόν, καὶ τὸ ἔσχατον ἀγαθὸν μάλιστα τέλος ἐστὶ πάντων· τοῦτο δὲ ἕν ἐστιν, ὁ Θεός, ὡς ἐδείχθη.

Ἔτι, τὸ ἔσχατον τέλος ἑκάστου ποιοῦντος, καθόσον ἐστὶ ποιῶν, αὐτός ἐστι· χρώμεθα γὰρ τοῖς ὑφ' ἡμῶν γινομένοις δι' ἡμᾶς αὐτούς, καὶ εἴ τι δι' ἕτερον ποιοῖμεν, καὶ τοῦτο εἰς τὸ ἴδιον ἀγαθὸν ἀναφέρομεν, ἢ τὸ χρήσιμον, ἢ τὸ ἡδύ, ἢ τὸ ἔνδοξον· ὁ δὲ Θεὸς ποιητικὴ αἰτία πάντων ἐστίν, τινῶν ἀμέσως, καὶ ἐνίων, μεσιτευόντων ἄλλων αἰτίων. Ἔστιν ἄρα τέλος τῶν πραγμάτων πάντων αὐτός· τῆς γὰρ θελήσεως αὐτοῦ οὐδὲν ἄλλο τέλος ἐστὶν ἢ ἡ ἀγαθότης αὐτοῦ, ἥτις ἐστὶν αὐτός.

Ἔτι, τὸ τέλος πρὸς τὰς ἄλλας αἰτίας τὸ πρωτεῖον ἐπέχει, καὶ παρὰ τούτου ἔχουσιν αἱ ἄλλαι τὸ ἐνεργείᾳ εἶναι αἰτίαι· τὸ μὲν γὰρ ποιοῦν ποιεῖ τέλους ἕνεκα, ἐκ δὲ τοῦ ποιοῦντος εἰς τὴν τοῦ εἴδους ἐνέργειαν ἡ ὕλη ἄγεται, καὶ γίνεται ἐνεργείᾳ ὕλη τουδί· ὁμοίως καὶ τὸ εἶδος, διὰ τῆς τοῦ ποιοῦντος ἐνεργείας, καὶ ἑπομένως διὰ τοῦ τέλους.

Ἔτι τε τὸ ὕστερον τέλος αἴτιόν ἐστι τοῦ τὸ προηγούμενον ὡς τέλος νοεῖσθαι· οὐδὲν γάρ τι κινεῖται ὡς εἰς τέλος τὸ προσεχές, εἰ μὴ ἕνεκα τοῦ ὑστέρου· τὸ ὕστατον ἄρα τέλος πάντων ἐστὶν αἰτία· τὸ δὲ εἶναι πρώτην πάντων αἰτίαν ἀνάγκη τῷ πρώτῳ ὄντι ἁρμόζειν, ὅπερ ἐστὶν ὁ Θεός. Ὁ Θεὸς ἄρα ἐστὶν ἔσχατον τέλος πάντων.

Καὶ τοῦτ' ἔστι τὸ ἐν ταῖς Παροιμίαις· „Πάντα δι' ἑαυτὸν ἐνήργησεν ὁ

---

31 *τουδί* sic A  33 Prov. 16, 4

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Θεός"· καὶ ἐν τῷ τέλει τῆς Ἀποκαλύψεως· „Ἐγώ εἰμι τὸ ᾱ καὶ τὸ ω̄, ὁ πρῶτος καὶ ὁ ἔσχατος"[1].

## XVIII. — Πῶς ὁ Θεὸς τέλος ἐστὶ πάντων.

Οὕτως ἐστὶ τέλος πάντων ὥσπερ τι, οὗ πάντα διὰ τῆς αὐτῶν ἐνεργείας τυγχάνει, οὐχ ὥσπερ τι συστὰν ὑπ' ἄλλου, ἀλλὰ μόνον προϋφεστώς τι καὶ τευκτόν, οὐδ' ὡς προσγινομένου τούτῳ τινός, ἀλλ' ὡς αὐτοῦ παρ' αὐτοῦ, κατὰ τὸν αὐτῶν τρόπων τυγχανόντων τῶν ἄλλων πάντων. Δῆλον γάρ, ὅτι διττόν ἐστι τὸ τέλος, τό τε συνιστάμενον ὑπὸ τοῦ ποιοῦντος καὶ ὕστερον τῷ εἶναι, ὡς ἡ ὑγεία, ἥτις ὑπὸ τοῦ ἰατροῦ γίνεται τέλος οὖσα αὐτῷ, καὶ τὸ προϋφεστώς, ὡς ὁ ἄνω τόπος τέλος τῆς κινήσεως τοῦ πυρός, καὶ ἡ πόλις τέλος τοῦ πολέμου τῷ βασιλεῖ· τοῦ δὲ Θεοῦ οὐδὲν πρότερον, οὔτε γίνεταί τι αὐτῷ ἀγαθὸν ἐκ τῆς ἐνεργείας τινὸς πράγματος. Οὐκοῦν οὐχ οὕτως, ἀλλὰ | ἕτερον τρόπον τέλος πάντων ἐστίν. f. 73v

## XIX. — Ὅτι τῷ Θεῷ πάντα σκοποῦσιν ὁμοιοῦσθαι.

Τὸ γὰρ ποιοῦν τέλος εἶναι λέγεται τοῦ ἀποτελέσματος, καθόσον τὸ ἀποτέλεσμα εἰς τὴν τοῦ ποιοῦντος ὁμοιότητα τείνει· ὅθεν τὸ τοῦ γεννῶντος εἶδος τέλος ἐστὶ τῆς γενέσεως· ὁ δὲ Θεὸς οὕτως ἐστὶ πάντων τέλος, ὅτι καὶ πάντων ἀρχὴ ποιητική· πάντα ἄρα ὡς εἰς ἔσχατον τείνει τέλος τὸ τῷ Θεῷ ὁμοιοῦσθαι.

Ἔτι, πᾶν διὰ τῆς ἑαυτοῦ κινήσεως ἢ ἐνεργείας εἴς τι ἀγαθὸν τείνει ὡς τέλος· κοινωνεῖ δέ τι τοῦ ἀγαθοῦ καθόσον τῇ πρώτῃ ἀγαθότητι τῷ Θεῷ ὁμοιοῦται. Πάντα ἄρα ταῖς ἰδίαις κινήσεσι καὶ ἐνεργείαις εἰς τὴν θείαν ὁμοιότητα τείνουσιν ὡς εἰς ἔσχατον τέλος.

Ἔτι, τοῦ εἶναι φύσει ἐφίενται πάντα· πάντα δὲ ἔχει τὸ εἶναι καθόσον τῷ Θεῷ ὁμοιοῦνται, ὅς ἐστιν αὐτὸ τὸ εἶναι ὑφεστώς· τὰ γὰρ ἄλλα μόνον εἰσὶν ὡς ἔχοντα τὸ εἶναι μεθεκτῶς· πάντα ἄρα ἐφίεται ὡς ἐσχάτου τέλους τοῦ τῷ Θεῷ ὁμοιοῦσθαι.

## XX. — Πῶς τὰ πράγματα τῇ θείᾳ ἀγαθότητι ὁμοιοῦνται.

Εἰ καὶ τῇ θείᾳ ἀγαθότητι ἕκαστον ὁμοιοῦται κατὰ τὸν ἑαυτοῦ τρόπον, ἀλλ' οὐ παρακολουθεῖ ταύτῃ ὡς ἔστιν ἐν τῷ Θεῷ αὐτή· ἡ γὰρ θεία ἀγαθότης ἁπλουστάτη ἐστὶν ὡς ὅλη ἐν ἑνὶ ὑφεστῶσα, καὶ αὐτὸ τὸ θεῖον εἶναι ἐστιν ἡ ἀγαθότης αὐτοῦ, καὶ τὸ θεῖον αὖθις εἶναι ἐστὶν ἡ τοῦ ὄντος οὐσία, ἃ τοῖς κτιστοῖς οὐ πρόσεστιν. Καὶ διὰ τοῦτο πᾶσα ἡ τῶν κτιστῶν ἀγαθότης μετοχῇ ἐστιν ἀγαθή, ὡς καὶ τὸ εἶναι αὐτῶν μετοχῇ ἐστιν ὄν. Καὶ αὖθις· ὁ μὲν Θεὸς ἑνὶ τῷ ἑαυτοῦ εἶναι τὴν ἐσχάτην ἐπέχει τῆς

1 Apoc. 22, 13

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τελειότητος ἀγαθότητα· τὸ δὲ κτίσμα τὴν τελειότητα οὐ μὲν ἑνὶ ἀλλ' ἐν πλείοσι κέκτηται· ὅθεν καὶ διὰ πλειόνων πρὸς τὴν ὁμοιότητα τῆς θείας ἀγαθότητος σπεύδει, οὐ μόνον τῷ ἑαυτοῦ εἶναι. Ὅθεν καὶ ἀγαθόν τί ἐστιν ἕκαστον, ἀλλ' οὐχ ἁπλῶς ἀγαθὸν εἰ μὴ καθόσον ἐστίν· τῷ δὲ Θεῷ ταὐτόν ἐστιν ἁπλῶς εἶναι, καὶ ἀγαθῷ εἶναι.

## XXI. — Ὅτι φύσει σκοποῦσι τῷ Θεῷ ὁμοιοῦσθαι ὡς αἰτίῳ.

Οὕτω γὰρ τὰ πράγματα εἰς τὴν ὁμοιότητα τείνουσι τοῦ Θεοῦ ὥσπερ εἰς τὴν ὁμοιότητα τοῦ ποιοῦντος τὸ ἀποτέλεσμα· τὸ δὲ εἰς τὴν ὁμοιότητα τείνει τοῦ ποιοῦντος οὐ μόνον κατὰ τὸ εἶδος αὐτοῦ, ἀλλὰ καὶ κατὰ τὸ αἴτιον εἶναι ἑτέρου· καὶ τὸ ποιοῦν οὐ τὰς ἀρχὰς μόνον, δι' ὧν ὑφίσταται τὸ ποιούμενον, αὐτῷ συντελεῖ, ἀλλὰ καὶ τὰς δι' ὧν ἑτέρου γίνεται αἴτιον.
f. 74 Οὕτως οὖν τὰ ὄντα σκοποῦσι φυσικῶς ὁμοιοῦσθαι Θεῷ | ἐν τῷ αἴτια εἶναι ἑτέρων.

Ἔτι, πᾶν πρότερον ἐστὶν ἐν αὐτῷ τέλειον πρὶν ἑτέρων δύνασθαι γίνεσθαι αἴτιον· αὐτὴ γὰρ ἡ τελειότης, ἡ ἐν τῷ γίνεσθαι ἄλλων αἴτιον, ἐπιγίνεται. Ἐπεὶ οὖν διὰ πλειόνων τὰ ὄντα εἰς τὴν θείαν τείνει ὁμοιότητα, τοῦτο ἔσχατον τινὶ καταλείπεται τὸ διὰ τοῦ ἑτέρων εἶναι αἴτιον τὴν θείαν ζητεῖν ὁμοιότητα. Ἐντεῦθέν ἐστι τὸ τοῦ Διονυσίου, ὅτι πάντων ἐστὶ θειότατον συνεργὸν γενέσθαι Θεοῦ· καὶ Ἀπόστολος ἐν τῇ πρὸς Κορινθίους πρώτῃ· „Θεοῦ συνεργοί ἐσμεν".

## XXII. — Πῶς διαφόρως τὰ πράγματα εἰς τὰ οἰκεῖα τάττονται τέλη.

Ἐκ τῶν εἰρημένων δὲ φανερόν, ὅτι τὸ ἔσχατον, δι' οὗ πᾶν πρᾶγμα εἰς τὸ οἰκεῖον τάττεται τέλος, ἡ ἐνέργειά ἐστιν αὐτοῦ, διαφόρως μέντοι κατὰ τὴν τῆς ἐνεργείας διαφοράν. Ἔστι μὲν γάρ τις τοῦ πράγματος ἐνέργεια ὡς κινοῦντος, ὡς τὸ θερμαίνειν καὶ πρίζειν· ἔστι δέ τις ὡς ὑπ' ἄλλου κινουμένου, ὡς τὸ θερμαίνεσθαι καὶ πρίζεσθαι· ἔστι δέ τις καὶ ἄλλη τελείωσις οὖσα τοῦ ἐνεργοῦντος, ὡς ὑφεστῶτος ἐνέργεια οὐ τείνουσα πρὸς τὸ μεταβάλλειν ἕτερόν τι· ὧν αἱ μὲν πρῶται διαφέρουσι κατὰ τὸ πάθος καὶ τὴν κίνησιν, αἱ δὲ δεύτεραι, κατὰ τὴν μεταβλητικὴν ἐνέργειαν τῆς ἐκτὸς ὕλης. Αὕτη δὲ ἡ ἐνέργειά ἐστιν ὡς τὸ νοεῖν, καὶ βούλεσθαι, καὶ αἰσθάνεσθαι· ὅθεν τὰ μὲν κινούμενα ἢ ἐνεργοῦντα μόνον, ἄνευ τοῦ κινεῖν ἢ ποιεῖν, εἰς τὴν θείαν ὁμοιότητα τείνουσι, καθόσον ἐν αὐτοῖς εἰσὶ τέλεια· τὰ δὲ ποιοῦντα ἢ κινοῦντα καθόσον τοιαῦτα εἰς τὴν θείαν ὁμοιότητα τείνουσι, καὶ καθόσον ἑτέρων εἰσὶν αἴτια· τὰ δὲ τῷ κινεῖσθαι κινοῦντα καθ' ἑκάτερον πρὸς τὴν θείαν ὁμοιότητα τείνουσιν· τὰ δὲ ὑποκάτω σώ-

---

21 I Cor. 3, 9

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ματα ὡς κινούμενα μόνον θεωροῦνται κινήσεσι φυσικαῖς, οὐ μέντοι ὡς κινοῦντα εἰ μὴ κατὰ συμβεβηκός· συμβαίνει γὰρ τῷ λίθῳ κατιόντι ἐξωθῆσαι τὸ συναντῆσαν. Ὁμοίως δὲ ἔχει ἐν τῇ ἀλλοιώσει καὶ ταῖς ἄλλαις κινήσεσιν· ὅθεν τὸ τέλος τῆς τούτων κινήσεως ἐστὶ τὸ τῆς θείας τυχεῖν ὁμοιότητος καθόσον ἐν ἑαυτοῖς εἰσι τέλεια, ὡς ἔχοντα δηλαδὴ ἴδιον εἶδος καὶ ἴδιον ποῦ. Τὰ δὲ οὐράνια σώματα κινοῦσι κινούμενα· ὅθεν τῆς αὐτῶν κινήσεως τέλος ἐστὶ τῆς θείας τυγχάνειν ὁμοιότητος καθ' ἑκάτερον· κατὰ μὲν τὴν ἑαυτῶν τελειότητα, καθόσον τὸ οὐράνιον σῶμα ἔν τινι ποῦ ἐνεργείᾳ ἐστίν, ἐν ᾧ ἦν | f. 74v πρότερον δυνάμει, οὐ μὴν διὰ τοῦτο ἔλαττον τῆς οἰκείας τυγχάνει τελειότητος, εἰ πρὸς ἐκεῖνο τὸ ποῦ καταλείπεται δυνάμει, ἐν ᾧ πρότερον ἦν ἐνεργείᾳ· ὁμοίως δὲ καὶ ἡ πρώτη ὕλη ἐπὶ τὴν τελειότητα φέρεται, καθόσον ἐνεργείᾳ τυγχάνει τοῦ εἴδους, ὃ πρότερον εἶχε δυνάμει, εἰ καὶ ἔχουσα ἕτερον πέπαυται ὃ εἶχεν ἐνεργείᾳ, κατὰ διαδοχὴν ὑποδεχομένη πάντα πρὸς ἃ δυνάμει ἐστίν, ἵνα ὅλη αὐτῆς ἡ δύναμις ἀχθῇ εἰς ἐνέργειαν κατὰ διαδοχήν, ὅπερ ὁμοῦ γίνεσθαι οὐκ ἐνῆν. Καθόσον δὲ τῷ κινεῖν κινοῦν τὰ οὐράνια σώματα, ἔστι τι τῆς κινήσεως τέλος αὐτῶν ἐν τῷ αἴτια εἶναι ἑτέρων, αἴτια γενέσεως ὄντα καὶ φθορᾶς καὶ τῶν ἄλλων κινήσεων ἐν τοῖς ὑποκάτω τούτοις. Εἰ δὲ καὶ τιμιώτερα εἰσὶ τὰ οὐράνια τῶν ὑποκάτω σωμάτων, ὅμως τοῦ τὴν γένεσιν καὶ τὰ εἴδη τῶν γεννητῶν προάγειν εἰς ἐνέργειαν, διὰ τῶν ἰδίων κινήσεων, οὐχ ὡς τέλους στοχάζονται ἐσχάτου, ἀλλὰ διὰ τούτου πρὸς τὴν θείαν τείνουσιν ὁμοιότητα, ὡς εἰς ἔσχατον τέλος, καθόσον ἑτέρων αἴτια εἰσίν.

Θεωρητέον δέ, ὡς ἕκαστον ὡς μετέχει τῆς ὁμοιότητος τῆς θείας ἀγαθότητος, ἥ ἐστιν ἀντικείμενον τῆς θελήσεως αὐτοῦ, οὕτως καὶ τῆς θείας θελήσεως, ᾗ τὰ ὄντα παράγονται καὶ συντηροῦνται. Τοῖς μὲν οὖν ἄνω ἡ μετοχὴ τῆς ὁμοιότητος ἁπλούστερον καὶ καθολικώτερον, τοῖς δὲ ὑποκάτω μερικώτερον καὶ μᾶλλον διῃρημένως· καὶ ἔστιν αὐτοῖς ἡ τάξις τοῦ καθόλου ποιοῦντος πρὸς τὸ μερικὸν ἀποτέλεσμα· καὶ ὥσπερ τοῦ μερικῶς ποιοῦντος ἐν τοῖς ὑποκάτω ὁ σκοπὸς πρὸς τὸ ἀγαθὸν τοῦδε ἢ ἐκείνου τοῦ εἴδους, οὕτω καὶ ὁ σκοπὸς τοῦ οὐρανίου σώματος ἐπὶ τὸ κοινὸν ἀγαθὸν τῆς σωματικῆς οὐσίας, ἥτις διὰ τῆς γενέσεως συντηρεῖται καὶ αὔξει καὶ πολλαπλασιάζεται.

Ἐπεὶ δὲ καὶ τῶν κινουμένων ἕκαστον εἰς τὴν θείαν ὁμοιότητα τείνει, ὥστε εἶναι ἐν ἑαυτῷ τέλειον, τελειοῦται δὲ ἐνεργείᾳ γινόμενον, πρὸς ἣν τείνει διὰ τῆς κινήσεως, ἡ τῆς ὕλης ἔφεσις, εἰς τὴν ἐσχάτην καὶ τελειοτάτην ἐνέργειαν ἀρχικώτερον τείνουσα, δι' ἧς τοῦ εἴδους τυγχάνοι ἄν, ὅ ἐστι τῆς γενέσεως ἔσχατον τέλος αὐτῇ, πρῶτον μὲν τοῦ εἴδους ἐφίεται τοῦ στοιχείου, ὃ πρῶτον ἐν τῇ τῶν εἰδῶν τάξει καὶ τῷ βαθμῷ, καὶ τούτου τυγχάνει· εἶτα τοῦ εἴδους τοῦ μικτοῦ, οὗ καὶ τὰ στοιχεῖα ὕλης εἰσίν· εἶτα τῆς φυσικῆς ψυχῆς, εἶτα τῆς αἰσθητικῆς, εἶτα τῆς νοερᾶς, μεθ' ὃ

Ε.Υ.Δ της Κ. τ.Π ΙΩΑΝΝΙΝΑ 2006

f. 75 εἶδος ἐν τοῖς γεννητοῖς | οὐδὲν τιμιώτερον. Καὶ ἕως ἐστὶν ἡ ὕλη ἐν τῷ προτέρῳ εἴδει, δυνάμει ἐστὶ πρὸς τὸ μετ' αὐτό, ἕως ἂν πρὸς τὸ ἔσχατον ἔλθοι, ὃ καὶ τῆς γενέσεως τέλος ἐστί, καὶ πρὸς ὃ ἔσχατον ἡ ἔφεσις τείνει τῆς ὕλης· τοῦτο δέ ἐστιν ἡ νοερὰ τοῦ ἀνθρώπου ψυχή, ὡς εἶναι τὰ μὲν στοιχεῖα διὰ τὰ μικτὰ σώματα, ταῦτα δὲ διὰ τὰ ζῶντα, ἐν οἷς τὰ μὲν φυτὰ διὰ τὰ ζῷα, τὰ δὲ ζῷα διὰ τὸν ἄνθρωπον, ὃς τέλος δήπου τῆς γενέσεως ὅλης. Ὁ αὐτὸς δὲ ἐν πᾶσι τῷ τοῦ εἶναι τρόπῳ καὶ ὁ τῆς αὐτῶν συντηρήσεως εὐλόγως· ὁρῶμεν γὰρ τὰ μὲν μικτὰ ταῖς εὐαρμόστοις ποιότησι τῶν στοιχείων διακρατούμενα, ἐξ αὐτῶν δὲ τῶν μικτῶν τὰ φυτὰ τρεφόμενα, τὰ δὲ ζῷα αὖ ἐκ τῶν φυτῶν, ζῷα δὲ ἰσχυρότερα καὶ τελειότερα ἔκ τινων ἀτελεστέρων τε καὶ ἀσθενεστέρων. Ὁ δὲ ἄνθρωπος χρῆται πᾶσι πρὸς οἰκείαν ὠφέλειαν καὶ ταῖς πάντων γενέσεσι, ποῦ μὲν πρὸς τροφήν, ποῦ δὲ πρὸς ἱμάτιον· ὅθεν καὶ γυμνὸς ὑπὸ τῆς φύσεως κατεσκεύασται, ἵνα ἐκεῖθεν ἐνδύηται, ὥσπερ καὶ τροφὴν αὐτῷ ἡ φύσις ἡτοίμασεν ἰδίαν τὸ γάλα, ἵνα ἐκ τῶν διαφόρων ἑαυτῷ τὴν τροφὴν ἐπιζητοίη. Τισὶ δὲ ζῴοις καὶ πρὸς ὄχημα χρῆται, πρὸς τὸ πόνους ὑποφέρειν πολλῶν ζῴων ἀργότερος ἐν τῇ κινήσει καὶ ἀσθενέστερος ὤν, πρὸς βοήθειαν προευτρεπισμένοις· καὶ ἐπὶ πᾶσι κέχρηται τοῖς αἰσθητοῖς πρὸς τὴν τῆς νοερᾶς τελείωσιν γνώσεως· ὅθεν εἴρηται ἐν ψαλμοῖς· „Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ“, καὶ Ἀριστοτέλης ἐν πρώτῳ τῶν Πολιτικῶν· „Ὁ ἄνθρωπος, φησί, φυσικὴν ἀρχὴν ἐπὶ πάντα τὰ ζῷα ἔχει“. Εἰ τοίνυν ἡ τοῦ οὐρανοῦ κίνησις πρὸς τὴν γένεσιν τέτακται, ἡ δὲ γένεσις ὅλη πρὸς τὸν ἄνθρωπον ὡς εἰς ἔσχατον τέλος τῆς γενέσεως ταύτης, καὶ τῆς τοῦ οὐρανοῦ κινήσεως ἄρα τὸ τέλος ὡς εἰς ἔσχατον, τὸν ἄνθρωπον, τέτακται ἐν τῷ γένει τῶν κινητῶν καὶ γεννητῶν· κἀντεῦθέν ἐστι τὸ ἐν Δευτερονομίῳ· „Τὰ οὐράνια σώματα ἐποίησεν εἰς διακονίαν πᾶσι τοῖς ἔθνεσιν“.

## XXIII. — Ὅτι ὁ οὐρανὸς ὑπό τινος νοερᾶς κινεῖται δυνάμεως.

Οὐδὲν γὰρ κατὰ τὸ εἶδος ποιοῦν ὑψηλότερον εἶδος τοῦ ἰδίου σκοπεῖ· πᾶν γὰρ τὸ ποιοῦν σκοπεῖ τὸ ὅμοιον ἑαυτῷ· τὸ δὲ οὐράνιον σῶμα τῇ κινήσει ποιοῦν σκοπεῖ ὡς ἔσχατον τὸν ἀνθρώπινον νοῦν, ὑψηλότερον ὄντα παντὸς εἴδους σωματικοῦ· οὐκ ἄρα τὸ οὐράνιον σῶμα πρὸς τὴν γένεσιν ἐνεργεῖ κατὰ τὸ ἴδιον εἶδος ὡς πρώτως ποιοῦν, ἀλλὰ κατ' εἶδος ὑψηλοτέρου
f. 75ᵛ τινὸς ποιοῦντος καὶ νοεροῦ, | πρὸς ὃ τὸ οὐράνιον σῶμα ὥσπερ ὄργανον ἔχει πρὸς τὸ πρώτως ποιοῦν· ποιεῖ δὲ πρὸς τὴν γένεσιν τὸ οὐράνιον σῶμα καθόσον κινεῖται· ὑπό τινος ἄρα νοερᾶς οὐσίας κινεῖται.

Ἔτι, πᾶν τὸ κινούμενον ὑπό του κινεῖται, ὥς τε καὶ τὸ σῶμα τοῦ οὐρανοῦ· ἔσται δὴ τὸ κινοῦν αὐτὸν ἢ κεχωρισμένον, ἢ ἡνωμένον· ἑκα-

19 Ps. 8, 8    26 Deut. 4, 19

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006